**8792** (21) [αὐτο]κράτωρ Σεβαστὸς Καῖσαρ[1], θεοῦ Σεβαστοῦ ἔ[γγ]ονος[2], Τιβερίου Καί||[σαρος υἱ]ωνός, ἀρχιερεύς, δημαρχικῆς ἐξουσίας, ὕπατος[3], Ἀχαιῶν καὶ Βοιω||[τῶν κ]αὶ Λοκρῶν καὶ Φωκέων καὶ Εὐ[βοέ]ων τῷ κοινῷ[4] χαίρειν· Ἀναγνοὺς | [τὸ δο]θέ[ν] μοι ὑπὸ τῶν ὑμετέρων πρεσβευτῶν ψήφισμα ἔγνων ὅτι οὐδεμία[ν | ὑπ]ερβολὴν ἀπελίπετε τῆς εἰς ἐμὲ [προθυμ]ίας καὶ εὐσεβείας, ἰδίᾳ τε | [ἕκασ]τος θυσάμενοι ὑπὲρ τῆς ἐμῆς σωτηρίας, καὶ κοινῇ ἑορτάσαντες, | [κα]ὶ τειμὰς ἃς ἠδύνασθε μεγίστας ψηφισάμενοι, ἐφ᾽ οἷς ἅπασι ἐπαινῶ | [ὑμ]ᾶς καὶ ἀποδέχομαι καὶ μεμνημένος τῆς ἐκ παλαιῶν χρόνων | [ἐπιφ]ανείας ἑκάστου τῶν Ἑλληνικῶν δ[ήμω]ν ἐῶ ὑμᾶς συνισταμένους· | [τῶν δ᾽ ἀ]νδριάντων, οὓς ἐψηφίσασ[θ]έ μοι, τὸ πολὺ πλῆθος, ἐὰν ὑμεῖν δοκῇ, | [ἀφε]λόντες, ἀρκεσθῆτε τοῖς Ὀλυμπίασι καὶ Νεμέᾳ καὶ Πυθοῖ καὶ Ἰσ|[θμοῖ] τεθησομένοις, ὅπ[ως] . . . . σθε [κ]αὶ ἑαυτοὺς ἧτ|[τον ἀνα]λώμασι βαρυνεῖ[τε. Ἀπέδωκάν μοι] τὸ ψήφισμα πρεσβε[υ|ταὶ ὧ]ν τὰ ὀνόματα ὑπ[ογέγραπται. Εὐτυχεῖτε]. Ἀ[ρ]χιπρεσβευτής (sequuntur nomina), Ἐδό[θη πρὸ] δεκατεσσάρων καλανδῶν Σεπτεμβρίων ἐν Ῥώμῃ.

*Acraephiis Boeotiae (Inscr. Graec. VII n. 2711 = Holleaux bull. de correspondance hellénique 12, 1888 p. 305 seq.). Titulus continet acta de legatione Epaminondae Acraephiensis (cf. N. 8794 not. 9) Romam, unde epistulam tantum imperatoris repetivi. — 1) Intellegitur Gaius (Caligula). Cf. supra N. 192. — 2) Cf. infra N. 8804 not. 1. — 3) A. 37. — 4) Κοινὸν hoc praeterea non memoratur (nisi forte Inscr. Gr. VII n. 2878). Sed cf. CIAtt. III 568.*

---

**8793** [ἐπ᾽ ἱερέ]ως Διογένευς, πρυτανίων τῶν σὺν | Μενεκλεῖ τῶ Ἀ[ρ]χαγόρα, γραμμα[τε]ύοντος | βουλᾶς Νεικασιμάχου Δια[φ]άνου καθ. ὑ.[1] Ἀρχεδάμ. | [Ἁ] ἐπιστολὰ ἁ ἀποσταλεῖσα ὑπὸ Νέρωνος | Κλαυδίου Καίσαρος Πεταγειτνύου κζ′.[2] |

[Νέρων][3] Κλαύδιος θεοῦ Κλαυδίου υἱός, Τιβερίου Καίσ[α]|ρος Σεβαστοῦ καὶ Γερμανικοῦ Καίσαρος ἔγγονος[4], θε|οῦ Σεβαστοῦ ἀπόγονος, Καῖσαρ Σ[ε]βαστὸς Γερμανι|κὸς ἀρχιερεύς, δημαρχικῆς ἐξουσίας[5], αὐτοκρά|τωρ, Ῥοδίων ἄρχουσι βουλῇ [δή]μῳ χαίρειν. |

Οἱ πρέσβεις ὑμῶν οὓς ἐπὶ τῇ ψευδῶς ἐπι[σ]τολῇ | πρὸς ὑμᾶς κομισθείσῃ τῷ τῶν ὑπάτων ὀνόματι | ταραχθέντες[6] πρός με ἐπέμψατε, καὶ τὸ ψήφισμα [ἀ]|πέδοσαν καὶ περὶ τῶν θυσιῶν ἐδήλωσαν ἃς ἐνετε[ί]|λασθε αὐτοῖς ὑπὲρ τῆς πανοικίου μου ὑγείας καὶ | τῆς ἐν τῇ ἡγεμ[ο]νίᾳ διαμονῆς ἐπιτελέσαι τῷ κατ᾽ ἐ|ξοχὴν παρ᾽ ἡμεῖν τειμωμένῳ θεῷ Διὶ Καπετωλίῳ, | περὶ τ᾽ ὧν ἐπεστάλκειτε αὐτοῖς πρὸς τὴν τῆς πόλεως | δημοκρατίαν διαφερόντων[7] ἐνεφάνισαν διὰ Κ[λαυ]|δίου Τειμοστράτου τοῦ ἀρχιπρεσβευτοῦ, σπου|δαίῳ πάθει τοὺς ὑπὲρ ὑμῶν ἐπ᾽ ἐμοῦ ποιησαμένων[8] | λόγους, ἀνδρὸς κ[ά]μοὶ ἐπὶ τῷ κρατ[ί]στῳ διὰ τ[ὴ]ν ἀνανέω|σιν τῶν πρὸς ἡμᾶς αὐτῷ δικαίων ὑπαρχόντων γνωρί|μου καὶ παρ᾽ ὑμεῖν ἐν τοῖς ἐπιφανεστάτοις